ΩΚ. ἡ σή, Προμηθεῦ, συμφορὰ διδάσκαλος.
ΠΡ. στέλλου, κομίζου, σῷζε τὸν παρόντα νοῦν.
ΩΚ. ὁρμωμένῳ μοι τόνδ᾽ ἐθώυξας λόγον.
λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
τετρασκελὴς οἰωνός· ἄσμενος δέ τἂν
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

str. 1. ΧΟ. στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ,
δακρυσίστακτον δ᾽ ἀπ᾽ ὄσσων ῥαδινῶν λει-
βομένα ῥέος παρειὰν
νοτίοις ἔτεγξα παγαῖς·
ἀμέγαρτα γὰρ τάδε Ζεὺς
ἰδίοις νόμοις κρατύνων
ὑπερήφανον θεοῖς τοῖς
πάρος ἐνδείκνυσιν αἰχμήν.
antistr. 1. πρόπασα δ᾽ ἤδη στονόεν λέλακε χώρα,
μεγαλοσχήμονά τ᾽ ἀρχαιοπρεπῆ . .
. . . . . . στένουσι τὰν σὰν
ξυνομαιμόνων τε τιμάν,
ὁπόσοι τ᾽ ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται,
μεγαλοστόνοισι σοῖς πή-

395. τοῦ μὴ λυπεῖν τὸν Δία. 396. ἀντὶ τοῦ εὐλαβήθητι. 397. ἄτοπον ἦν τὴν πάντων γένεσιν χρονίζειν ἐπὶ τῆς κινήσεως, εἰ (ἐπὶ τῆς σκηνῆς, ὡς ἂν εἰ Weil.) καί τις ἥλιον εἰσαγαγὼν ἐπὶ πολὺ τὸν κόσμον ἀνήλιον εἴασε. δεῖ οὖν μεμετρημένως τὰ τοιαῦτα ποιεῖσθαι. 401. τὸ στάσιμον ᾄδει ὁ χορὸς ἐπὶ τῆς γῆς κατεληλυθώς. λείπει τὸ ἕνεκα. 403. ῥέος: ῥεῦμα. παρὰ τὸ ῥέω ῥέος ὡς κλέπτω κλέπος· οἴχεται τὸ κλέπος αὐτὸς ἔχων. 408. τὴν βίαν. καὶ Πίνδαρος (Pyth. 1, 8) αἰχματὰν κεραυνόν τὸν βίαιον λέγει. 410. μεγάλου σχήματος οὖσαν. 414. ἀναχρονισμός· οὔπω γὰρ ἦν ἐποικισθεῖσα τοῖς Ἕλλησιν ἡ Ἀσία.

---

396. σῶζε M. 399. δέ τἂν Blomfieldus: δ᾽ ἔτ᾽ ἂν M. 401. τᾶσ [η supra] οὐλομένᾶσ [η supra] M. 402. δακρυσίστακτον ἀπ᾽ ὄσσων ῥαδινῶν δ᾽ εἰβομένα Hermannus. 407. ὑπερήφανοσ [ν supra] M. 408. ἐνδείκνυσιν recc.: ἐνδεικνύειν M.